καὶ ἡμεῖς τὴν ἐργασίαν ποιησώμεθα, καὶ τῶν ἡμετέρων πόνων καὶ ἰδιῶται καὶ βασιλεῖς ὄναιντο ⟨μέν⟩ (οἱ μέν, παιᾶνας καὶ κρότους ἐπινικίους ἡμῶν ὑπηχούντων καὶ δωροφορούντων αὐτοῖς, γέρας τοῦτο σεμνὸν καὶ βασίλειον ⟨ἀποδέχονται⟩, οἱ δὲ τὸν ἐπαινέτην λόγον προσιέμενοι θειασμοῖς τισὶν εὐφήμου γλώττης πρὸς ἀρετὴν ὑποπτεροῦνται, καὶ ὥσπερ ὑπεσχημένον οὐ παρήσειν ἀθαύμαστον μηδὲ εἰς τὸ μέλλον περιόψεσθαι φιλοκαλοῦνται), ἀποδρέψαιντο δὲ τῆς ἐμῆς φιλοπονίας ὡς εὐανθοῦς λειμῶνος οὐκ ὀλίγα τῆς εὐμουσίας ἄνθη καὶ ὅση νεότης φιλόμουσος, ἐπιδοίη δὲ πρὸς ἐργασίαν καὶ ἄσκησιν τοῦ καλοῦ καὶ ὅση φιλευσεβὴς ἀκοὴ καὶ τὰ θεῖα φιλήκοος, ἱεροφαντούντων ἡμῶν ὑπὸ πολλῷ τῷ φωτὶ καὶ ἀνακαλυπτόντων ὁπόσα μυστηριώδη τοῦ πνεύματος.

Τοιαῦτα ἐφιλοτιμούμην τοιούτων ἐγλιχόμην, ἐπὶ τούτοις ἤσκουν τὴν 3
γλῶτταν ταύτῃ τοι καὶ ὡς ἐπὶ κλίμακος ἐποιούμην τὰς ἀναβάσεις, φιλομαθῶν καὶ παιδείας ξυμπάσης τὸν νοῦν ἐμπιπλῶν. ταῦτα μὲν οὖν μετὰ τὴν γραμματικὴν ἐμπειρίαν, ἣν ἐγὼ πάγκαλόν τι προτεμένισμα τίθεμαι σοφίας τῆς ἄλλης, μετῄειν δὴ τὴν νέαν ταύτην καὶ ὡς ἐν παισὶ σοφιστικήν, τὴν ἐν ὀνόμασι κλεπτικήν. ἔθελγε γάρ μου τοῦ Ἑρμοῦ τούτου τὸ δόλιον καὶ θαμὰ θεατρίζων ὅλας νέων ἀγέλας εἰς ἑαυτὸν ἐπεσπώμην. οὐ τὸν ἀρχαῖον μέντοι τρόπον τοὺς λαβυρίνθους τούτους διετεχνώμην· ἀγλευκὲς γάρ
525] μοι ἐδόκει | καὶ ἀρχαιολογίας καὶ τέχνης ἀξέστου τὸ μὴ ξὺν ἡδονῇ λέγειν ἢ καὶ ὅλως ὑποβαρβαρίζειν. ὅθεν οὐκ ἀνίην τοὺς γρίφους καὶ τὰς πλεκτάνας, καὶ τὰ ἐκτὸς μὲν εἰς ἀγλαΐαν ὑπογράφων, ἀλλὰ δὴ καὶ τὰ ἐντὸς ἱκανῶς βοστρυχίζων καὶ διαπλέκων εἰς ὥραν· καί τις ἔδοξα τοῦτο τὸ μέρος, καὶ ἦν ἑταιρία περὶ ἐμὲ οὐ φαύλη ζήλῳ τοῦ ἐπιτηδεύματος καὶ ἱμέρῳ τῆς εὐπαιδευσίας ταύτης, ὡς ὀλίγου μεταρρυῆναι πάντας ὁπόσοι τῶν νέων εὔστομοί τε καὶ ἀκροφυεῖς ἀπὸ τῆς ἀρχαιοτρόπου καὶ παλαιᾶς σχεδικῆς ἐπὶ τὴν ἡδυεπῆ ταύτην καὶ ἡμετέραν, ἣν καὶ τὸ φαινόμενον καταμελιτοῖ καὶ τὸ κρυπτόμενον ἀγλαΐζει.

Καὶ ἦν ἤδη λεγόμενον τὸ βασιλακίζειν ἐν σχεδοπλόκοις, ὡς πάλαι τὸ 4
γοργιάζειν ἐν σοφισταῖς. καὶ ὁ φθόνος πολὺς ὑπεκάετο τούτοις δὴ τοῖς τὸ ἀρχαιότροπον καὶ σαπρὸν μεταδιώκουσιν ὑπ᾽ ἀμαθίας καὶ τοῦ μὴ φύσεως εὖ ἔχειν, τοῖς τῶν χαρίτων ἐχθροῖς, τοῖς ὑποξύλοις καὶ γελοίοις τὴν πλοκήν, οὐχ ἥκιστα δὲ καὶ ὑποσολοίκοις, καὶ ταῦτα γραμματικὴν ἐπαγγελλομένοις ἐκπαιδεύειν, ἧς τὸ εὖ λέγειν καὶ ὀρθοεπεῖν ἐπιτήδευμα· ὧν καὶ τὸ ἀκριβὲς ἀμαθὲς καὶ τὸ εὐσταθὲς ἀγεννὲς καὶ τὸ ὑψηλὸν χθαμαλόν, οἳ καὶ βασιλακισμὸν ὡς φιλιππισμὸν ἢ μηδισμὸν τοῖς τῶν ἡμετέρων ζηλωταῖς ἐνεκάλουν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/11 UNIVERSITÄT LEIPZIG